προσήκοντι γενέσθαι, ἢ θεληθῆναι, ἢ γνωσθῆναι· ἀλλὰ καὶ ῥωμαλεώτεροι ἂν ἐγίνοντο ἄλλοι ἄλλων, καὶ καλλίους καὶ βέλτιον κεκραμένοι, καὶ τροφαῖς καὶ ἀέρος διαθέσει καὶ τόπων ἐξαλλαττόμενοι· οὐ γὰρ ἦν ἂν αὐτοῖς τὰ σώματα τῶν τῆς φύσεως νόμων ἐξῃρημένα, ὥσθ' ὑπὸ τῶν ἔξωθεν μὴ προσίεσθαί τι μᾶλλον ἢ ἧττον ὠφέλημα ἢ βοήθημα, οὕτω μέντοι γε, ὥστ' ἐν τοῖς νικωμένοις μηδεμίαν εἶναι στέρησιν ἢ ἁμάρτημα ἐντεῦθεν περὶ τὴν ψυχὴν ἢ τὸ σῶμα.

4. Ὅτι καὶ ἀλλήλων ἂν ἦρχον τότε οἱ ἄνθρωποι· οὐκ ἂν γὰρ ἦν ἡ τῶν ἀνθρώπων ἀξία τότε μείζων τῆς τῶν ἀγγέλων, ἐν οἷς ἕτεροι ἑτέρων ἄρχουσιν· ἀλλ' οὐκ ἂν ἦρχον δεσποτικὴν ἀρχήν· αὕτη γάρ, οὐ δυναμένη εἶναι ἄνευ λύπης ἐν τοῖς ἀρχομένοις, οὐκ ἂν ἥρμοζε τῇ ἀπαθεῖ καταστάσει· ἀλλὰ πολιτικὴν καὶ ἡγεμονικὴν πρὸς τὸ τοῦ ἀρχομένου ἴδιον ἀγαθὸν καὶ πρὸς τὸ κοινὸν βλέπουσαν.

## XCVII. — Περὶ τοῦ σώματος αὐτοῦ.

1. Ὅτι ὁ ἄνθρωπος ἐν τῇ τῆς ἀπαθείας καταστάσει ἀθάνατος ἂν ἦν. Ὡς γὰρ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους φησί· „Διὰ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος". Ἦν δ' ἂν ἀθάνατος οὐ κατὰ ἀπόφασιν οὐδὲ φυσικῶς· οὐ γὰρ ἀδιάλυτον αὐτῷ ἦν τὸ σῶμα· ἀλλὰ κατὰ χάριν· ἐνῆν γὰρ τῇ ψυχῇ δύναμις θεόθεν ὑπερφυῶς δεδομένη, δι' ἣν ἠδύνατο τὸ σῶμα πάσης ἀνώτερον φθορᾶς διαμένειν, ἐφόσον ἂν διέμενε τῷ Θεῷ ὑποτεταγμένη, ὅπερ τῇ τῆς σωματικῆς ὕλης φύσει ἀδύνατον ἦν προσεῖναι ἀφ' ἑαυτῆς.

2. Ὅτι καὶ ἀπαθὴς ἂν ἦν. Εἰ γὰρ παθητός, καὶ φθαρτὸς ἂν ἦν, εἴγε τὸ πάθος ἐπιταθὲν ἐξάγει καὶ τῆς οὐσίας, εἰ καὶ τῷ τελειωτικῷ πάθει συνῆν, ὥσπερ τὸ νοεῖν καὶ αἰσθάνεσθαι πάσχειν τι λέγεται. Ἡ δὲ ἀφαίρεσις τῆς πλευρᾶς οὐ μετὰ πάθους ἦν, ἐξάγοντος τὸν ἄνθρωπον τῆς φυσικῆς διαθέσεως, ὥσπερ οὐδ' ἡ τοῦ σπέρματος ἔκκρισις· ἀρχὴ δὲ καὶ ἡ πλευρὰ τοῦ ἀνθρωπίνου γένους ἦν ὡς τὸ σπέρμα.

Ἀπαθὴς δ' ἂν ἦν, ἢ προφυλαττόμενος ἀπὸ τῶν ἔξωθεν σκληρῶν καὶ βλαβερῶν διὰ τὸν ἐν αὐτῷ λόγον, ἢ καὶ διὰ τὴν ἐκ τῆς προνοίας ἐπίσκεψιν, ὥστ' ἐκ τοῦ ἀπροόπτου μηδὲν αὐτῷ συναντᾶν βλαβερόν.

3. Ὅτι ἀναγκαίως ἂν ἐδεῖτο τροφῶν· „Ἀπὸ παντὸς γάρ, φησί, ξύλου
f. 269v βρώσει φαγῇ"· | ὡς γὰρ εἶχε ζωὴν ζωώδη, δεομένην σιτίων, καὶ ζωὴν ἀπὸ τῆς ψυχῆς διδομένην τῷ σώματι, ἧς δὴ ψυχῆς ἡ φυτικὴ δύναμις πρώτη τῆς ζωῆς ἀρχὴ ἐν τοῖς ὑποκάτω, τῷ χρῆσθαι τροφῇ καὶ γεννᾶν καὶ αὔξειν συνισταμένη ὡς οἰκείαις αὐτῆς ἐνεργείαις· καὶ τὸ οὕτω ζῶν σῶμα ψυχικὸν λέγεται. Μετὰ δὲ τὴν ἀνάστασιν ἡ ψυχὴ κοινωνήσει πως τῷ σώματι τῶν ἑαυτῆς ἰδίων, καθόσον ἐστὶ πνεῦμα, ἀθανασίας μέν, πάσης ἀπα-

---

17 Rom. 5, 12    32 Gen. 2, 16

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θείας δὲ καὶ δόξης καὶ δυνάμεως, μόνοις τοῖς ἀγαθοῖς, ὧν τὰ σώματα καὶ πνευματικὰ λέγονται· καὶ διὰ τοῦτο οὐ δεήσονται τότε σιτίων· καὶ τοῦτ' ἔστι τὸ τοῦ Ἀποστόλου· „Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν". Εἰ δὲ τῇ τροφῇ καὶ ἡ τῶν περιττωμάτων ἔκκρισις ἀκολουθεῖ καὶ ἡ ταύτῃ συνημμένη αἰσχρότης, τὸ μὲν ἐκκρίνεσθαί τι τότε περίττωμα ἀναγκαῖον ἂν ἦν, τὸ δὲ μηδὲν ἀκολουθεῖν ἀπρεπὲς θεόθεν ἂν ἦν προνενοημένον.

4. Ὅτι τὸ τῆς ζωῆς ξύλον ἀθανασίας ἦν αἴτιον, ὡς ἐν τῷ γράμματι λέγεται· „Μήποτε ἐκτείνῃ χεῖρα αὐτοῦ, καὶ λάβῃ ἐκ τοῦ ξύλου τῆς ζωῆς, καὶ φαγὼν ζήσεται εἰς τὸν αἰῶνα". Ἰστέον γάρ, ὅτι δυοῖν στερήσεων, τῆς τε στερήσεως τοῦ ὑγροῦ τῇ ἐνεργείᾳ τῆς κατὰ φύσιν θέρμης φθειρομένου, ἥτις ἐστὶν ὄργανον τῆς ψυχῆς, καὶ τῆς στερήσεως τῆς ἐνεργητικῆς τοῦ εἴδους δυνάμεως, ὑφ' ἧς δὴ δυνάμεως ἡ τροφὴ μεταβάλλεται πρῶτον μὲν καὶ πρὸς αὔξησιν, εἶτα πρὸς μόνην τὴν ἐπανάκτησιν τοῦ ἀπορρυέντος, εἶτ' ἐν τῷ γήρᾳ μηδὲ πρὸς τοῦτ' ἐξαρκεῖν· πρὸς μὲν τὴν πρώτην στέρησιν ἡ τροφὴ τῶν ἄλλων ἐκεῖ ξύλων ἐδόθη, κατὰ δὲ τῆς δευτέρας ἐβοηθεῖτο τῷ τῆς ζωῆς ξύλῳ· εἶχε γὰρ δύναμιν ἐκεῖνο ἀναρρωννῦσαν τὴν ἰσχὺν τοῦ εἴδους, ὥστε μὴ ἐξασθενῆσαι διὰ τὴν τῶν ἐξωτερικῶν ὑγρῶν μίξιν, ὥσπερ τὸ ὕδωρ ἰσχυρότερον μὲν τῷ οἴνῳ μιγνύμενον ἐξ ἀρχῆς εἰς αὐτὸν μεταβάλλει, μᾶλλον δὲ καὶ μᾶλλον προστιθέμενον ἀσθενεστέρῳ, οὕτω μειοῖ τὴν αὐτοῦ δύναμιν, ὡς τελευταῖον ὑδαρῆ ποιεῖν αὐτόν. Φαρμάκου τοίνυν τρόπον ἐκώλυε τὴν φθοράν, ὡς Αὐγουστῖνος φησίν, οὐχ ἁπλῶς ἀθανασίας αἴτιον ἦν, ἐπεὶ οὐδὲ ἡ ἐνοῦσα τῇ ψυχῇ δύναμις πρὸς τὸ τηρεῖν τὸ σῶμα τὸ τῆς ζωῆς ξύλον αἴτιον εἶχεν. Ἀλλ' οὐδὲ διάθεσις ἀθανασίας τῷ σώματι ἐκ τοῦ ξύλου ἐδίδοτο, ὡς μηδέποτε διαλυθῆναι δύνασθαι· παντὸς γὰρ σώματος δύναμις πεπερασμένη ἐστίν· ἀλλ' ἅπαξ ληφθὲν ἄν, προεφύλαττεν ἀπὸ τῆς φθορᾶς τὸ σῶμα μέχρις ὡρισμένου καιροῦ, μεθ' ὃν ἢ μετετέθη ἂν ὁ ἄνθρωπος πρὸς τὴν πνευματικὴν, ζωήν, ἢ καὶ δὶς ἂν καὶ πολλάκις ἐδεήθη λαβεῖν ἐξ αὐτοῦ.

XCVIII. — Περὶ τῆς γεννήσεως τῶν τέκνων ἐν τῇ ἀπαθείᾳ. f. 270

1. „Αὐξάνεσθε, φησί, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν". Ὁ δὲ πληθυσμὸς δεῖται τῆς ἐκ νέου γενέσεως, ἥτις οὐκ ἂν ἦν, δυοῖν μόνων ὄντων τῶν ἐξ ἀρχῆς κτισθέντων ἀνθρώπων. Εἰ δὲ μὴ ἔμελλεν, καὶ ἐν τῇ ἀπαθείᾳ ὁ πληθυσμὸς γίνεσθαι, σφόδρα ἂν ἦν ἀναγκαῖον τὸ τοῦ ἀνθρώπου ἁμάρτημα, ἐξ οὗ μόνον τηλικοῦτον ἐπηκολούθησεν ἀγαθόν. Ἰστέον γάρ, ὅτι ἐπεὶ ὁ ἄνθρωπος ὥσπερ μεθόριον γέγονεν ἀσωμάτου καὶ σωματικῆς φύσεως, ὁ δὲ τῆς φύσεως ἄλλως φέρεται σκοπὸς ἐπὶ τὰ φθαρτὰ καὶ

---

3 I Cor. 15, 44 8 Gen. 3, 22 31 Gen. 1, 28 34 *σφόδρα* corrigé de *σφόδρως* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄλλως ἐπὶ τὰ ἄφθαρτα, ἐπὶ μὲν τὰ ἄφθαρτα προηγουμένως, ἐπὶ δὲ τὰ φθαρτὰ κατὰ τὴν πρὸς τὰ ἄφθαρτα τάξιν, διὰ τοῦτο ἐν τοῖς φθαρτοῖς, τὸ τοῦ εἴδους ἀγαθὸν προηγουμένως ἡ φύσις σκοποῦσα, τὴν φυσικὴν ἔταξε γένεσιν. Οὕτω κἀν τῷ ἀνθρώπῳ, ἐπεὶ τὸ σῶμα φύσει φθαρτὸν ἦν, ἁρμόζει τούτῳ ἡ γένεσις. Κατὰ δὲ τὴν ψυχήν, οὖσαν ἄφθαρτον, ἁρμόζει τούτῳ τὸ τὸ πλῆθος τῶν ταύτης ἀτόμων καθ' αὑτὸ τὴν φύσιν σκοπεῖν, ἢ μᾶλλον τὸν τῆς φύσεως δημιουργόν, ὃς μόνος καὶ τῶν ἀγγελικῶν ἀτόμων καὶ τῶν ἀνθρωπίνων ἐστὶ ποιητής. Καὶ διὰ τοῦτο πρὸς πληθυσμὸν τοῦ ἀνθρωπίνου γένους κἀν τῇ καταστάσει τῆς ἀπαθείας ἐχρῆν ἐνεῖναι τούτῳ τὴν γένεσιν.

2. Ὅτι καὶ διὰ συνουσίας ἐγίνετο ἂν ἡ γένεσις. Ἐν γὰρ τοῖς θείοις ἔργοις οὐδέν ἐστι μάτην. Εἰ τοίνυν καὶ μὴ ἥμαρτεν ὁ ἄνθρωπος, ἦν ἂν ἡ συνουσία, πρὸς ἣν ἡ τοῦ γένους διάκρισις τέτακται.

Ἔτι, ἡ γυνὴ βοηθὸς δέδοται τῷ ἀνδρὶ κατὰ τὸ γράμμα δι' οὐδὲν ἄλλο πλὴν γενέσεως· πρὸς πᾶν γὰρ ἄλλο βέλτιον ὁ ἀνὴρ δι' ἀνδρὸς βοηθεῖται· ἡ δὲ γένεσις διὰ συνουσίας ἐστίν.

Δυοῖν δὲ θεωρουμένων νῦν περὶ τὴν συνουσίαν· ἑνὸς μέν, τῆς συναφείας τῆς ποιητικῆς καὶ παθητικῆς δυνάμεως, ὧν ἡ μὲν ἐν τῷ ἀνδρί, ἡ δὲ ἐν τῇ γυναικί, καὶ τοῦτ' ἔστιν ἔργον τῆς φύσεως· ἑτέρου δέ, τοῦ αἴσχους τῆς σφοδρᾶς ἐπιθυμίας, τὸ μὲν πρῶτον ἦν ἂν τότε, τὸ δὲ δεύτερον ἀπῆν ἄν· ἀλλ' ἐγίνετ' ἂν ἡ τῆς συνουσίας κίνησις ἄνευ πυρώσεως καὶ τοῦ τῆς ἀκολασίας κέντρου, καὶ μετά τινος ἠρεμίας τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ σκοποῦ τὴν διαμονὴν τοῦ εἴδους, ἢ μᾶλλον τῶν ἀτόμων, ζητοῦντος, οὐ τὴν ἡδονήν, ἢ τὴν ἡδονὴν τὴν διὰ λόγου τεταγμένην, ὥσπερ ὁ νήφων οὐκ ἔλαττον ἥδεται τῷ λαιμάργῳ τρεφόμενος, ἀλλ' ἧττον τὸ ἐπιθυμητικὸν ἀναπαύεται τῇ τοιαύτῃ ἡδονῇ· οὐ γὰρ σὺν ἐκκαύσει ἀκολασίας, οὐδὲ μετὰ τῆς τοῦ νοῦ ταραχῆς καὶ ἀτάκτως ἐπεθύμει τῆς βρώσεως. f. 270v Ἡ δὲ τῆς ἡδονῆς αἴσθησις, ὡς ἐνίοις δοκεῖ, καὶ μείζων ἂν ἦν, | ὅσῳ καὶ ἡ φύσις καθαρωτέρα ἂν ἦν, καὶ τὸ σῶμα μᾶλλον αἰσθητικόν· διὸ καὶ ἡ ἐγκράτεια ἐν ἐκείνῳ τῷ βίῳ οὐκ ἂν ἦν ἐγκωμίων ἀξία, νῦν οὖσα τοιαύτη οὐ διὰ τὴν ἔνδειαν τοῦ γονίμου, ἀλλὰ διὰ τὴν τῆς ἀτάκτου ἀκολασίας ἀναίρεσιν. Τότε δ' ἂν ἦν τὸ γόνιμον ἄνευ ἀκολασίας.

## XCIX. — Περὶ τοῦ σώματος τῶν ἐν ἀπαθείᾳ ἂν γεννηθέντων.

1.-2. Ὅτι ἐν τῇ τῆς ἀπαθείας καταστάσει οἱ παῖδες οὐκ εἶχον αὐτίκα γεννηθέντες ἂν τελείαν τὴν δύναμιν πρὸς τὴν κίνησιν τῶν μελῶν· πᾶν γὰρ τὸ γεννώμενον πρότερόν ἐστιν ἀτελὲς πρὶν τελειωθῆναι· ἀλλὰ τὰ νήπια τότε διὰ γενέσεως ἂν παρήγοντο· ἀτελῆ ἄρα ἔμελλεν ἐξ ἀρχῆς εἶναι, καὶ τῇ ποσότητι καὶ τῇ δυνάμει τοῦ σώματος δύναμιν ἔχοντα κινή-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεως πρὸς τὰ τῇ νηπιότητι συμβαίνοντα μόνα, οἷον πρὸς τὸ θηλάζειν, καὶ τὰ τοιαῦτα. Οὐ μόνον δὲ ἄνδρες ἀλλὰ καὶ γυναῖκες ἂν ἐγεννῶντο, καὶ ὅλως οὐδὲν τῶν πρὸς τὴν συμπλήρωσιν τῆς ἀνθρωπίνης φύσεως συντελούντων ἀπῆν ἂν ἐν ἐκείνῃ τῇ καταστάσει, ἐν οἷς ἐστι καὶ ἡ τοῦ γένους διαφορά.

## C. — Περὶ τῆς δικαιοσύνης ἐκείνων.

1. Ὅτι καὶ μετὰ δικαιοσύνης ἂν ἐγεννῶντο. Ὥσπερ γὰρ νῦν οἱ παῖδες ὁμοιοῦνται τοῖς γονεῦσι κατὰ τὴν προγονικὴν ἁμαρτίαν, φυσικὸν ἁμάρτημα λεγομένην καὶ μετὰ τῆς φύσεως διαδιδομένην, οὕτως ὡμοίωντο ἂν καὶ τότε αὐτοῖς κατὰ τὴν δικαιοσύνην τὴν προγονικήν, συμβεβηκὸς οὖσαν τῷ ἀνθρωπίνῳ εἴδει, οὐ τὰς ἀρχὰς τοῦ εἴδους αἴτιον ἔχον, ἀλλ' ὥσπερ τι δῶρον θεόθεν δεδομένον ὅλῃ τῇ φύσει.

2. Ὅτι οὐκ ἂν ἦσαν ἀκίνητοι ἐν τῇ δικαιοσύνῃ. Ἡ γὰρ λογικὴ κτίσις διὰ τῆς μακαριότητος μόνης ἀκίνητος γίνεται, τῆς ἐν τῇ τοῦ Θεοῦ θεωρίᾳ συνισταμένης· ἄλλως τε οὐκ ἂν ἦσαν τελειότεροι τῶν γεννώντων αὐτούς, εἰ καὶ ἰδικῇ τινι χάριτι ἐνεδέχετο τινάς, καὶ πρὸ τῆς μακαριότητος, ἀκινήτους ἐκ τῆς χάριτος γενέσθαι ἐν τῇ ὁδοιπορίᾳ τῆς ζωῆς ἐκείνης, ὡς πιστεύεται ἐπὶ τῆς μακαρίας παρθένου· καὶ οἱ διαμείναντες ἂν ἐν τῇ δικαιοσύνῃ τῇ θείᾳ προνοίᾳ ἀθῷοι ἂν τῆς ἁμαρτίας διεφυλάττοντο, διότι τρεπτὸν ἔχοντες τὸ αὐτεξούσιον καὶ πρὸ τῆς αἱρέσεως καὶ μετὰ τὴν αἵρεσιν, ἐδέοντο ἂν τῆς θείας ἐπικουρίας.

## CI. — Περὶ τῆς ἐπιστήμης ἐκείνων.

1. Ὅτι οὐκ ἂν ἦσαν τέλειοι κατὰ τὴν ἐπιστήμην εὐθύς, ἀλλὰ προϊόντος τοῦ χρόνου, συνέλεγον ἂν ἄνευ δυσχερείας ἢ εὑρίσκοντες, ἢ διδασκόμενοι. Εἰ γὰρ φυσικόν ἐστιν ἀνθρώπῳ τὸ διὰ τῶν αἰσθήσεων τὴν ἐπιστήμην συλλέγειν, καὶ τούτου χάριν ἡ ψυχὴ ἑνοῦται τῷ σώματι, ἔδει μηδὲ τότε ἄλλως τοῦτο γίνεσθαι· | ἄγνοια δὲ ἡ νῦν ἐκ τῆς ἁμαρτίας οὐκ ἂν f. 271
ἦν ἐν αὐτοῖς, ἀλλά τις ἀκαταληψία τινῶν, ὧν τὴν ἐπιστήμην οὐκ ἂν ἥρμοττεν ἔχειν εὐθύς. Τὰς δὲ καθόλου ἀρχὰς ᾔδεσαν ἂν καὶ ἐν παιδικῇ ἡλικίᾳ πληρέστερον ἢ νῦν ἡμεῖς οἴδαμεν αὐτὰς φύσει, τάς τε ἄλλας καὶ τὰς τοῦ φυσικοῦ νόμου, δι' ὧν ὡδηγοῦντ' ἂν εἰς τὰ τῆς δικαιοσύνης ἔργα.

2. Ὅτι οὐκ ἂν εἶχον εὐθὺς τελείαν τὴν χρῆσιν τοῦ λόγου· αἱ γὰρ αἰσθητικαὶ δυνάμεις, ὧν ἤρτηται τρόπον τινὰ ἡ τοῦ λόγου χρῆσις, καὶ διὰ τοῦτο, πεπεδημένης τῆς αἰσθήσεως καὶ τῶν ἔνδον αἰσθητικῶν κωλυομένων δυνάμεων, καὶ ἡ τοῦ λόγου χρῆσις ἐξασθενεῖ· αὗται τοίνυν ἐν τοῖς παιδίοις κωλύονται διὰ τὴν πολλὴν τοῦ ἐγκεφάλου ὑγρότητα. Εἶχον μέντ' ἂν τελειοτέραν ἢ νῦν πρὸς τὰ τῇ ἡλικίᾳ ἀνήκοντα.

Ε.Υ.Δ της Κ.Ι.Ι ΙΩΑΝΝΙΝΑ 2006

### CII. — Περὶ τοῦ τόπου τοῦ ἀνθρώπου, ἤγουν τοῦ παραδείσου.

1. Ὅτι ὁ παράδεισος σωματικός ἐστι τόπος. Ἐν πᾶσι γὰρ τοῖς ὑπὸ τῆς Γραφῆς παραδεδομένοις ἀντὶ παντὸς θεμελίου δεῖ τὴν τῆς ἱστορίας ἀλήθειαν ὑποκεῖσθαι, ἐπὶ δὲ ταύτῃ τὰς πνευματικὰς ἐξηγήσεις οἰκοδομεῖν. Ἔστι δὲ ἐν τῇ ἀνατολῇ, ὡς ἐν τῷ τιμιωτάτῳ μέρει τῆς γῆς· ἡ ἀνατολὴ γὰρ τὸ δεξιόν ἐστι τοῦ οὐρανοῦ, τὸ δὲ δεξιόν, τιμιώτερον τοῦ ἀριστεροῦ. Οἱ γεωγράφοι δὲ οὐδεμίαν ἐποιήσαντο μνήμην τοῦ τόπου ἐκείνου διὰ τὸ πολλοῖς κωλύμασιν αὐτὸν τῆς ἡμετέρας οἰκίσεως ἀποτετειχίσθαι, ἢ ὀρῶν, ἢ θαλάσσης, ἢ διακεκαυμένης χώρας, ἣν ἀδύνατον διελθεῖν. Ἦν δὲ τόπος οἰκεῖος τῇ ἀνθρωπίνῃ οἰκήσει κατὰ τὴν πρώτην κατάστασιν, καί, ὥς φησιν ὁ Δαμασκηνός, εὐκράτει καὶ λεπτοτάτῳ καὶ καθαρωτάτῳ ἀέρι περιλαμπόμενος, φυτοῖς ἐξανθοῦσι περιεστεμμένος.

2. Ὅτι ἐτέθη ἐν αὐτῷ ὁ ἄνθρωπος, κατὰ τὸ γράμμα, ὥστε ἐργάζεσθαι καὶ φυλάττειν αὐτόν. Διχῶς δὲ τοῦτο νοεῖσθαι δυνατὸν κατὰ Αὐγουστῖνον· ἢ ἵνα ὁ Θεὸς ἐργάζηται καὶ φυλάττῃ τὸν ἄνθρωπον, ἐργάζηται μὲν δικαιῶν αὐτόν, οὗ ἡ ἐνέργεια εἰ τὸν ἄνθρωπον ἀπολίποι συνεχῶς, σκοτισθήσεται, ὥσπερ σκοτίζεται ὁ ἀήρ, τῆς ἐπιρροίας τοῦ φωτὸς παυσαμένης· φυλάσσῃ δὲ ἀπὸ πάσης φθορᾶς καὶ κακοῦ· ἢ ἵνα αὐτὸς ὁ ἄνθρωπος ἐργάζηται τὸν παράδεισον καὶ φυλάσσῃ· καὶ ἐργάζηται μὲν οὐ μοχθηρῶς ὡς νῦν, ἀλλ' ἡδέως διὰ τὴν γυμνασίαν τῆς φυσικῆς δυνάμεως· φυλάττῃ δὲ οὐ κατὰ τῶν κλεπτῶν, ἀλλ' ἑαυτῷ φυλάττῃ, ἵνα μὴ ἁμαρτὼν ζημιωθῇ, ὃ διὰ τὴν ἁμαρτίαν ἔπαθε ζημιωθείς.

f. 271v 3. Ὅτι ἔξω τοῦ | παραδείσου πλασθείς, εἶτα ἐν αὐτῷ ἐτέθη κατὰ τὸ γράμμα. „Ἔλαβε γάρ, φησίν, ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ ἔθηκεν αὐτὸν ἐν τῷ παραδείσῳ". Ὁ γὰρ παράδεισος τόπος ἦν οἰκεῖος τῇ καταστάσει ἐκείνῃ τῆς ἀφθαρσίας, ἥτις ἦν οὐ κατὰ φύσιν τῷ ἀνθρώπῳ, ἀλλ' ὑπερφυὲς δῶρον. Ἵνα τοίνυν τοῦτο τῇ χάριτι λογισθείη καὶ μὴ τῇ ἀνθρωπίνῃ φύσει, τοῦθ' οὕτω γέγονεν, ἵνα τακτόν τινα καιρὸν τὴν ψυχικὴν ἐν αὐτῷ ζωὴν διανύσας, μετὰ ταῦτα τυχὼν πνευματικῆς ζωῆς, εἰς οὐρανὸν μεταχθῇ.

## Du gouvernement divin.

### CIII. — Περὶ τῆς τῶν ὄντων κυβερνήσεως κοινῶς.

1. Ὅτι ὁ κόσμος ὑπό τινος κυβερνᾶται, ὡς ἐν τῇ Σοφίᾳ λέγεται· „Σὺ δέ, πάτερ, πάντα τῇ προνοίᾳ κυβερνᾷς". Εἰ γὰρ ἀδύνατον αὐτὰ ἄγεσθαι τύχῃ· δῆλον γὰρ ὡς ἐν τοῖς φυσικοῖς ἀεὶ τὸ βέλτιον γίνεται, ἢ ὡς

---

7 *οὐρανοῦ* corrigé de *ἀνθρώπου* A 22 *φυλάττῃ* corrigé de *φυλάττει* A
25 Gen. 2, 8 36 Sap. 14, 3

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπὶ τὸ πλεῖστον, ὃ τῆς προνοίας ἐστίν· ἄλλως τε καὶ ἄριστα γεγενημένα, καὶ τοῦ ἀρίστου ἕνεκα ἢ τοῦ αὐτοῖς, ἢ τοῦ ἁπλῶς, δεῖ αὐτὰ τελειοῦσθαι ἐν τῷ τυγχάνειν τοῦ τέλους, ἀνάγκη τὴν θείαν ἀγαθότητα, ὡς παρήγαγεν αὐτὰ τὴν ἀρχὴν εἶναι, οὕτω καὶ πρὸς τὸ τέλος ἄγειν, ὅ ἐστι τὸ κυβερνᾶν.

2. Ὅτι τὸ τέλος τῆς τοῦ κόσμου κυβερνήσεως ἔστι τι ἐκτὸς τοῦ κόσμου. Ἐν γὰρ Παροιμίαις λέγεται· „Πάντα δι' ἑαυτὸν ἐποίησεν ὁ Θεός"· αὐτὸς δέ ἐστιν ἔξω τῆς ὅλης τάξεως τοῦ παντός· ἄλλως τε, ὡς ἡ ἀρχὴ τοῦ παντὸς ἔξωθέν ἐστι τοῦ παντός, αὐτὸς ὁ Θεὸς δηλαδή, ἀνάγκη καὶ τὸ τοῦ παντὸς τέλος ἐξωτερικόν τι ἀγαθὸν εἶναι· καὶ πρὸς τούτοις τὸ τοῦ παντὸς τέλος καὶ ἀγαθὸν καθόλου εἶναι δεῖ· τοῦτο δὲ καθ' αὑτὸ καὶ κατ' οὐσίαν, καὶ οὐ κατὰ μετοχὴν καὶ τὸ μερικόν, ἀλλ' αὐτὴ τῆς ἀγαθότητος ἡ οὐσία· τοῦτο δὲ δεῖ ἔξωθεν εἶναι τοῦ παντός. Εἰ δὲ ἔστι τι τέλος τοῦ παντὸς ἐν αὐτῷ ὂν ἀγαθόν, τουτέστιν ἡ τάξις αὐτοῦ, ἀλλὰ τοῦτο οὐκ ἔστιν ἔσχατον τέλος, ἀλλὰ πρὸς ἐξωτερικὸν τέλος τάττεται ὡς ἔσχατον τέλος· ὃν τρόπον ἡ τοῦ στρατεύματος τάξις πρὸς τὸν ἡγεμόνα.

3. Ὅτι ὁ κόσμος ὑφ' ἑνὸς κυβερνᾶται. Κατὰ γὰρ τὸν Ἀπόστολον· „Εἷς Θεὸς ὁ Πατήρ, καὶ εἷς Κύριος"· τοῦ δὲ Κυρίου ἐστὶν ἡ τῶν ὑποτεταγμένων κυβέρνησις, καὶ τὸ Θεὸς ὄνομα ἐκ τοῦ προνοεῖν εἴληπται. Ἀρίστη γάρ ἐστι κυβέρνησις τῶν πολλῶν ἡ δι' ἑνὸς γινομένη, οὔτε οἷόν τε τὴν ἑνότητα καὶ τὴν εἰρήνην τοῦ πλήθους, ἥτις τέλος ἐστὶ καὶ σκοπὸς τῆς κυβερνήσεως, μὴ ἀπὸ τοῦ ἑνὸς γίνεσθαι· τὰ γὰρ πολλὰ ἑνοῦν καὶ συνάγειν οὐ δύνανται εἰ μή τινα τρόπον ἑνοῖντο· ἑνοῦσθαι δὲ οὐ δύνανται εἰ μὴ ὑφ' ἑνός, ὃ καθ' αὑτό ἐστιν ἕν.

4. Ὅτι πλείω εἰσὶ τὰ τῆς κυβερνήσεως ἀποτελέσματα. Εἰ γὰρ καὶ ἕν ἐστι τὸ τῆς κυβερνήσεως ἀπο|τέλεσμα ἁπλῶς, τὸ ὁμοιωθῆναι τῷ ἄκρῳ f. 272 ἀγαθῷ, εἰ θεωροῖμεν τὸ τέλος, ἀλλ' ὅσον πρὸς τὴν ἐν τοῖς κτίσμασιν ὁμοιότητα δύο εἰσὶ ἀποτελέσματα· ἡ ἐν τῷ ἀγαθῷ δηλονότι ἑκάστου τῶν ὄντων συντήρησις καὶ ἡ εἰς τὸ ἀγαθὸν αὐτῶν κίνησις· τῷ τε γὰρ ἀγαθὴ εἶναι ἡ κτίσις καὶ τῷ αἰτία γίνεσθαι ἀγαθοῦ ὁμοιοῦται τῷ Θεῷ, ὡς οἷόν τε. Εἰ δὲ μερικῶς θεωροῖτο τὸ ἀποτέλεσμα, ἄπειρά εἰσι τὰ τέλη τῆς κυβερνήσεως.

5. Ὅτι πάντα τῇ θείᾳ κυβερνήσει ὑπόκεινται. Ὡς γὰρ ἀδύνατον εἶναί τι μὴ τὸν Θεὸν ἔχον αἰτίαν, οὕτω καὶ εἶναί τι τῇ τοῦ Θεοῦ κυβερνήσει μὴ ὑποκείμενον. Εἰ δὲ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται, ὅτι „ἐν πᾶσι τοῖς ὑπὸ τὸν ἥλιόν ἐστιν ἡ τύχη καὶ τὸ αὐτόματον", οὐ νοεῖται ὅτι πάντα τὰ ἐν χρόνῳ ἀπὸ τύχης εἰσίν, ἀλλ' ὅτι ἐν ἑκάστῳ τούτων δύναταί τι ἀπὸ τύχης καὶ αὐτομάτου εὑρίσκεσθαι· τοῦτο δὲ δείκνυσι πάντα κυβερνήσει τινὸς ὑποκείμενα. Εἰ μὴ γὰρ τὰ φθαρτὰ ταῦτα ὑπό τινος ἐκυβερνῶντο

6 Prov. 16, 4 17 I Cor. 8, 6 34 Eccl. 9, 11



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὑψηλοτέρου, οὐδένα ἂν εἶχον σκοπόν, καὶ μάλιστα τὰ μὴ ἔχοντα γνῶσιν, καὶ οὕτως οὐδὲν ἂν ἦν αὐτοῖς παρὰ τὸν σκοπόν, ὅπερ τὸν τοῦ αὐτομάτου λόγον ποιεῖ.

Καὶ ὅταν ὁ Ἀπόστολος λέγῃ „μὴ μέλειν τῷ Θεῷ περὶ τῶν βοῶν", οὐχ ἁπλῶς τῆς θείας κυβερνήσεως ἀποκλείει τὰς βοῦς, ἀλλὰ μόνον τὸν τρόπον ἀποφάσκει, ὃς ἰδίως ἁρμόζει τῇ λογικῇ κτίσει. Αὕτη γὰρ κυβερνᾷ μὲν ἑαυτὴν διὰ νοῦ καὶ θελήσεως, ἀλλὰ κανονίζεται τὸν νοῦν καὶ τὴν θέλησιν καὶ τελειοῦται τῷ θείῳ νῷ καὶ τῇ θείᾳ θελήσει· οὐ γὰρ μόνον ὑπὸ τοῦ Θεοῦ ἡ λογικὴ κτίσις κινεῖται ἔνδοθεν ἐνεργοῦντος, ἀλλὰ καὶ ἐνάγεται εἰς τὸ ἀγαθὸν καὶ ἀφέλκεται τοῦ κακοῦ προτροπαῖς καὶ ἀποτροπαῖς, καὶ ἄθλοις καὶ τιμωρίαις. Τοῦτον δὲ τὸν τρόπον οὐ κυβερνῶνται τὰ ἄλογα κτίσματα· ἄγονται γὰρ μόνον, οὐκ ἄγουσιν οὔθ' ἑαυτά, οὔθ' ἕτερα.

6. Ὅτι οὐ πάντα ἀμέσως ὑπὸ τοῦ Θεοῦ κυβερνῶνται· ὅσον μὲν γὰρ εἰς τὸν τῆς κυβερνήσεως λόγον, ἀμέσως· ὅσον δὲ πρὸς τὴν ἐκπλήρωσιν αὐτοῦ, ὅς ἐστιν ἡ θεία πρόνοια, μεσιτευόντων τινῶν. Κυβερνᾷ γὰρ ὁ Θεὸς τὰ πάντα οὕτως ἀρίστως, ὥστε τὴν βελτίονα αὐτοῖς τελείωσιν ἐκ τῆς κυβερνήσεως γίνεσθαι· μεγίστη δὲ τελειότης ἐν τοῖς κτίσμασι τὸ εἶναί τι ἄλλου κυβερνητικὸν καθ' ὁμοιότητα τοῦ Θεοῦ, ὥσπερ ἂν εἴ τις διδάσκαλος τοὺς ἰδίους μαθητὰς οὕτω τελειοῖ, ὥστε ἐνίους αὐτῶν οὐκ ἐπιστήμονας μόνον, ἀλλὰ καὶ διδασκάλους τῶν ἄλλων ποιεῖν.

Τοῦτο δὲ καὶ τῷ θείῳ ἀξιώματι πρέπον ἦν, ἵν' ἐκ τῆς τῶν ὑπηρετου-
f. 272v μένων τῇ κυβερνήσει τάξεως ἡ θεία ἐξουσία | φαίνοιτο λαμπροτέρα, ὡς καὶ ἐπὶ τῶν ἐν ἀνθρώποις βασιλευόντων ἔχει.

7. Ὅτι οὐ δυνατὸν συμβαίνειν τι παρὰ τὴν τῆς θείας κυβερνήσεως τάξιν· παρὰ μὲν γὰρ τὴν τάξιν μερικοῦ τινος δυνατὸν ἀποβαίνειν τι ἀποτέλεσμα, ὥσπερ ἡ ἀπεψία συμβαίνει παρὰ τὴν τάξιν τῆς θρεπτικῆς δυνάμεως ἔκ τινος κωλύματος, οἷον τῆς τοῦ σιτίου παχύτητος, ἣν αὖθις εἰς ἄλλην αἰτίαν ἔστιν ἀνάγειν. Ἐπεὶ δ' ὁ Θεὸς πρώτη καὶ καθόλου πάντων ἐστὶν αἰτία, τὸ δοκοῦν παρεκβαίνειν τὴν τάξιν κατά τινα μερικὴν αἰτίαν ἄλλοθεν πάλιν ἀνάγκη εἰς τὴν αὐτὴν τάξιν ἐπανιέναι καθ' ἑτέραν αἰτίαν, ὡς καὶ ἐπὶ τοῦ εἰρημένου ὑποδείγματος ἀνάγκη εἰς αἰτίαν ἀπὸ αἰτίας μεταβαίνοντας εἰς τὴν πρώτην καὶ καθόλου καταντᾶν αἰτίαν.

Τὸ δὲ κακόν, παρὰ τὴν τάξιν ὂν τοῦ μερικοῦ ἀγαθοῦ, ὅμως τὴν τάξιν τῆς θείας κυβερνήσεως οὐ παρέξεισιν, διὸ καὶ ἐν τῷ ἀγαθῷ ἵδρυται, καὶ οὐδέν ἐστιν ὃ παντελῶς ἐστι κακὸν πανταχόθεν σκοπούμενον· οὕτω γὰρ οὐκ ἂν ἦν παντάπασιν.

Καὶ αὐτόματον δὲ οὐδέν ἐστιν ἐν τῷ κόσμῳ θεολογικῶς, ὅσον δηλαδὴ πρὸς τὴν θείαν ἀνήκει πρόνοιαν, ἀλλὰ φυσικῶς μόνον διὰ τὸ τὴν πρὸς

4 I Cor. 9, 9

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰς μερικὰς αἰτίας τάξιν παρεξιέναι· καὶ αὐτὸ δὲ τὸ συμβῆναί τι παρὰ τὴν τάξιν τῆς προσεχοῦς αἰτίας ἔκ τινος αἰτίας ἐστὶ τῇ θείᾳ κυβερνήσει ὑποκειμένης.

8. Ὅτι οὐδὲν ἀντεπιχειρεῖ τῇ θείᾳ κυβερνήσει. Πᾶν γὰρ πρᾶγμα κατὰ τὴν αὐτοῦ ἐνέργειαν καὶ σπουδὴν εἰς μόνον τὸ ἀγαθὸν φέρεται, καὶ οὐδεὶς εἰς τὸ κακὸν ἀφορῶν ἐνεργεῖ, ὥς φησιν ὁ ἱερὸς Διονύσιος· ἡ δὲ τάξις τῆς κυβερνήσεως παντελῶς εἰς τὸ ἀγαθὸν φέρεται. Εἰ δὲ λέγονταί τινες λογίζεσθαι, ἢ ποιεῖν, ἢ λέγειν κατὰ τοῦ Θεοῦ, οὐχ ὡς ἀντεπιχειροῦντες τῇ θείᾳ διατάξει· καὶ αὐτοὶ γὰρ ἀγαθόν τι σκοποῦσιν ἐξαμαρτάνοντες, ἀλλ' ὡς ἀντεπιχειροῦντες ὡρισμένῳ τινὶ ἀγαθῷ, ὅπερ ἐστὶν οἰκεῖον αὐτοῖς κατὰ τὴν αὐτῶν φύσιν ἢ ἕξιν· καὶ ταύτῃ δικαίως ὑπὸ τοῦ θείου κολάζονται.

## CIV. — Περὶ τῆς θείας κυβερνήσεως εἰδικῶς.

1. Ὅτι τὰ κτίσματα δέονται τοῦ συντηρεῖσθαι ἐν τῷ εἶναι ὑπὸ Θεοῦ. Παντὸς γὰρ κτίσματος τὸ εἶναι ἤρτηται τοῦ Θεοῦ οὕτως, ὥστε μηδ' ἀκαριαῖον δύνασθαι ὑφεστάναι, ἀλλ' εἰς τὸ μηδὲν σκεδάννυσθαι, μὴ τῇ ἐνεργείᾳ τῆς θείας δυνάμεως συντηρούμενον· οὕτω γὰρ ἔχει πρὸς τὸν Θεὸν πᾶσα ἡ κτίσις ὡς ὁ ἀὴρ πρὸς τὸν φωτίζοντα ἥλιον· ὁ δὲ ἥλιος φαίνει μὲν αὐτὸς κατὰ τὴν αὐτοῦ φύσιν, φωτίζει δὲ τὸν ἀέρα μεταλαμβάνοντα τοῦ φωτός, οὐ τῆς φύσεως τοῦ ἡλίου. Οὕτω μὲν οὖν | καθ' αὐτὰ πάντα f. 273 τῆς θείας συντηρήσεως δέονται. Ἐπεὶ δὲ ἔνια εἰσὶν ὑπό τινων δυνάμενα φθείρεσθαι, καὶ ταῦτα συντηρεῖ κωλύων τὸ φθαρτικόν, ὃ κατὰ συμβεβηκὸς συντηρεῖσθαι λέγεται. Ἀλλὰ πάντα ἁπλῶς καθ' αὐτὰ συντηρεῖ, ὧν τὸ εἶναι καθ' αὑτὸ μὲν ἕπεται τοῖς αὐτῶν εἴδεσιν, ὑποκειμένης μέντοι τῆς θεόθεν ἐπιρροίας, ὥσπερ καὶ τὸ φῶς ἕπεται τῷ διαφανεῖ, ὑποκειμένης τῆς ἐκ τοῦ ἡλίου ἐπιρροίας, ἣν εἰ ἐπίσχοι τὸ θεῖον ἐφ' ὁσονοῦν, ἅμα καὶ τὰ εἴδη τῶν ὄντων παύσεται καὶ πᾶσα φύσις ἀπολεῖται. Ἡ τοιαύτη δὲ τῶν ὄντων ἐν τῷ εἶναι συντήρησις ἐκ Θεοῦ οὐ διά τινος ἀεὶ νέας ἐνεργείας γίνεται, ἀλλὰ τῇ συνεχείᾳ τῆς ἐνεργείας, ᾗ ποτε τὴν ἀρχὴν δέδωκεν ἑκάστῳ τὸ εἶναι, ἥτις δὴ ἄνευ κινήσεως ἐστὶ καὶ χρόνου, ὡς καὶ ἡ τοῦ φωτὸς ἐν τῷ ἀέρι συντήρησις τῇ παρὰ τοῦ ἡλίου συνεχεῖ ἐπιρροίᾳ ἐστίν.

2. Ὅτι οὐκ ἀμέσως ὁ Θεὸς συντηρεῖ πᾶσαν τὴν κτίσιν, ἀλλὰ μεσιτευόντων τινῶν κτισμάτων, οἷς ὑπουργικῶς τὸ αἰτιῶδες ἔνειμεν ὁ Θεός, ὡς προείρηται. Εἰ δὲ καὶ ἀμέσως πάντα δεδημιούργηκεν, ἀλλὰ καὶ ἀρχοειδῶς ἀμέσως συντηρεῖ, εἰ καὶ ἐν αὐτῇ τῇ δημιουργίᾳ τὴν τάξιν αὐτοῖς ἐνέθηκε ταύτην ὥσθ' ἕτερα ἑτέρων ἠρτῆσθαι, δι' ὧν κατὰ δεύτερον λόγον συντηροῖτο ἂν ἐν τῷ εἶναι.

3. Ὅτι ὁ Θεὸς δύναται καὶ πάντα ποιεῖν εἰς τὸ μηδὲν ἀπιέναι, ὡς



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ Ἱερεμίᾳ λέγεται· „Ἔλεγξον ἡμᾶς, Κύριε, ἐν ἀληθείᾳ καὶ κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ εἰς τὸ μηδὲν παραπέμψῃς“. Ὡς γὰρ πρὸ τοῦ εἶναι τὰ ὄντα ἠδύνατο μὴ κοινωνῆσαι τούτοις τοῦ εἶναι καὶ οὕτως αὐτὰ μὴ ποιῆσαι, οὕτω καὶ γενομένων, δύναται μὴ ἐποχετεύειν αὐτοῖς τὸ εἶναι, ὅπερ ἐστὶν εἰς τὸ μηδὲν αὐτὰ παραπέμπειν· οὐ γὰρ κατὰ φυσικὴν ἀνάγκην αὐτὰ παρήγαγεν, ἀλλ' ἐλευθέρᾳ βουλήσει καὶ ἀγαθότητι, ὥστε οὕτω καὶ συντηρεῖ, ὥστε εἰ θέλει τοῦ ἐνεργεῖν παύσασθαι, καὶ τὰ ὄντα αὐτίκα τοῦ εἶναι παύσασθαι ἀνάγκη.

4. Ὅτι οὐδὲν τῶν θείων ἔργων εἰς τὸ μηδὲν σκεδάννυται. Ἢ γὰρ ἄϋλά εἰσι, καὶ οὕτως ἐν αὐτοῖς οὐκ ἔστι δύναμις πρὸς τὸ μὴ εἶναι· ἢ ὑλικά, καὶ οὕτω τοὐλάχιστον μένουσι κατὰ τὴν ὕλην, ἄφθαρτον οὖσαν ὡς ὑποκείμενον γενέσεως καὶ φθορᾶς.

## CV. — Περὶ τῆς ὑπὸ Θεοῦ τῶν κτισμάτων μεταβολῆς.

1. Ὅτι ὁ Θεὸς δύναται ἀμέσως κινεῖν τὴν ὕλην ἐπὶ τὸ εἶδος. Τὸ γὰρ ἐν δυνάμει παθητικῇ ὂν εἰς ἐντελέχειαν διὰ τῆς ἐνεργητικῆς δυνάμεως ἄγεται, ἥτις τὴν ὕλην ὑπὸ τὴν αὐτῆς δύναμιν περιέχει, καὶ τοῦτ' ἔστι τὸ
f. 278v τὴν ὕλην κινεῖσθαι ἐπὶ τὸ εἶδος· | τὸ γὰρ εἶδος οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ τῆς ὕλης ἐντελέχεια.

2. Ὅτι δύναται καὶ σώματι ἀμέσως κινεῖν· „Συναχθήτω γάρ, φησί, τὰ ὕδατα εἰς συναγωγὴν μίαν“, διότι δύναται πάντα ποιεῖν δι' ἑαυτοῦ, ὅπερ ἂν δύνηται δι' οἱασδηποτοῦν κτιστῆς αἰτίας παράγεσθαι, καὶ ὡς τὸ εἶδος ἀμέσως εἰς τὴν ὕλην εἰσάγειν δύναται, οὕτω καὶ πᾶν σῶμα πάσῃ κινήσει κινεῖν, οὐχ ἁπτόμενος μέντοι σωματικῶς, ἀλλὰ κατὰ δύναμιν.

3. Ὅτι δύναται καὶ τὸν κτιστὸν νοῦν ἀμέσως κινεῖν. Ὁ γὰρ διδάσκων κινεῖ τὸν νοῦν τοῦ μανθάνοντος· „Ὁ δὲ Θεὸς διδάσκει τὸν ἄνθρωπον γνῶσιν“ ὡς ἐν Ψαλμοῖς λέγεται· τοῦ γὰρ κινεῖν τι τὸν νοῦν διχῶς νοουμένου, ἢ τοῦ διδόναι αὐτῷ δύναμιν πρὸς τὸ νοεῖν, ἢ τοῦ ἐντιθέναι ὁμοιότητα τοῦ νοητοῦ πράγματος, ὁ Θεὸς καὶ ἀμφοτέρως κινεῖ τὸν νοῦν· δίδωσι γὰρ αὐτῷ δύναμιν πρὸς τὸ νοεῖν ἢ φυσικήν, ἢ προσκειμένην· ἐντίθησι δὲ αὐτῷ καὶ νοητὰ εἴδη, καὶ συνέχει ἀμφότερα, καὶ συντηρεῖ καὶ ἐν τῷ εἶναι. Οὐ μέντοι γε οὕτω κινεῖ ὡς αὐτοῦ νοητός· οὐ γὰρ ἀρκοῦσιν αἱ ἐντιθέμεναι τῷ κτιστῷ νῷ ὁμοιότητες πρὸς τὸ κατ' οὐσίαν αὐτὸν νοεῖν τὸν Θεόν.

4. Ὅτι δύναται καὶ τὴν κτιστὴν κινεῖν θέλησιν. Ὁ Θεὸς γάρ ἐστι, κατὰ τὸν Ἀπόστολον πρὸς Φιλιππησίους, „ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ τελειοῦν“· κινεῖ δὲ οὐκ ἀναγκάζων, οὐδὲ ἀναιρῶν τὸ ὑφ' αὐτῆς κινεῖσθαι, ἀλλ' ὡς καθόλου ἀγαθὸν πληρῶν τὴν θέλησιν, καὶ οὕτω τῷ τρόπῳ τοῦ ἀντικειμένου κινῶν· καὶ ἔτι, ὡς αἴτιος τῆς θελήσεως καὶ πρῶτον

---

1 Ierem. 10, 24    20 Gen. 1, 9    26 Ps. 93, 10    35 Phil. 2, 13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κινοῦν, ποιῶν αὐτὴν ἐπὶ τὸ καθόλου ἀγαθὸν ῥέπειν· μάλιστα δὲ τῷ δευτέρῳ τρόπῳ, τῷ ἔνδοθεν ταύτην ῥέπειν ποιεῖν.

5. Ὅτι ἐνεργεῖ αὐτὸς ἐν παντὶ ἐνεργοῦντι, ὡς ἐν τῷ Ἡσαΐᾳ λέγεται· Πάντα τὰ ἡμέτερα ἔργα ἐνήργησας ἐν ἡμῖν, Κύριε". Ἐνεργεῖ γὰρ ὡς καὶ αὐτῶν τῶν πραγμάτων τὴν ἰδίαν ἐχόντων τὴν ἐνέργειαν· ἐνεργεῖ δὲ πρῶτον μὲν τῷ λόγῳ τοῦ τέλους· πᾶσα μὲν γὰρ ἐνέργεια, διά τι ἀγαθὸν ἢ δοκοῦν· αὐτὸς δὲ τὸ ἔσχατον πάντων ἀγαθόν, οὗ τῇ μετοχῇ τὰ ἄλλα ἀγαθά εἰσι καὶ τέλεια· δεύτερον, τῷ λόγῳ τῆς ποιητικῆς ἀρχῆς· ἐν γὰρ τῷ πλήθει τῶν τεταγμένων ἐνεργούντων τὸ ὕστερον ἐν τῇ τοῦ προτέρου δυνάμει ποιεῖ ἄχρι καὶ τῆς πρώτης αἰτίας, καὶ οὕτως πάντα τῇ θείᾳ δυνάμει ἐνεργεῖ, καὶ αὐτός ἐστιν αἴτιος τῆς πάντων ἐνεργείας· τρίτον, τῷ λόγῳ τῆς εἰδικῆς ἀρχῆς· οὐ γὰρ μόνον προσάγει τὰ εἴδη καὶ τὰς δυνάμεις τῶν ὄντων πρὸς τὴν ἐνέργειαν, ὡς ὁ τεχνίτης, καὶ μὴ διδοὺς τὸ εἶδος τῷ πρίονι ὅπως προσάγει πρὸς τὸ διαιρεῖν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος δίδωσι τοῖς ἐνεργοῦσι, καὶ συντηρεῖ ἐν τῷ εἶναι ἕκαστα καὶ τὰ εἴδη αὐτῶν, | ἅ εἰσι τῶν ἐνερ- f. 274
γειῶν ἐν ἑκάστοις ἀρχαί· καὶ ἐπεὶ τὸ εἶδός ἐστιν ἐν τῷ πράγματι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ πρότερόν ἐστι καὶ καθολικώτερον, ὁ δὲ Θεὸς ἀρχὴ πᾶσι τοῦ καθόλου εἶναι, ὅπερ ἐνδότατον πάντων ἐστίν, ἕπεται τὸν Θεὸν ἐν πᾶσιν ἔνδοθεν ἐνεργεῖν· καὶ διὰ τοῦτο καὶ ἡ Γραφὴ πολλαχοῦ τῷ Θεῷ τὰς ἐνεργείας τῆς φύσεως ἀποδίδωσιν.

6. Ὅτι δύναται ποιεῖν τι παρὰ τὴν ἐγκειμένην τοῖς οὖσι τάξιν. Τῇ γὰρ τάξει τῶν δευτέρων αἰτίων αὐτὸς οὐχ ὑπόκειται, ἀλλὰ μᾶλλον ἡ τοιαύτη τάξις ὑπόκειται αὐτῷ ὡς ἂν ἀπ' αὐτοῦ προϊοῦσα οὐ φυσικῇ ἀνάγκῃ ἀλλ' ἐλευθέρᾳ βουλήσει· ἠδύνατο γὰρ καὶ ἄλλην τάξιν ἐνστήσασθαι. Ὅθεν δύναται καὶ παρὰ τὴν οὐσίαν ποιεῖν τι, οἷον ποιεῖν τὰ τῶν δευτέρων αἰτίων ἀποτελέσματα χωρὶς αὐτῶν, ἢ προάγων ἀποτελέσματα, ἐφ' ἃ ἡ δύναμις τῶν δευτέρων αἰτίων οὐκ ἐκτείνεται. Οὕτω γὰρ ὡρισμένην τάξιν τοῖς οὖσιν ἐνέθηκεν, ὥστε ἑαυτῷ φυλάττειν τὸ καὶ ἄλλως αὐτὸν ἐνίοτε ὡς κοινὴν καὶ πρώτην αἰτίαν ποιεῖν· διὸ καὶ οὐ μεταβάλλεται παρὰ τὴν ὡρισμένην τάξιν ποιῶν.

7. Ὅτι πάντα ὅσα παρὰ τὴν φυσικὴν τάξιν ποιεῖ θαύματα λέγονται. Θαυμάζομεν γάρ, ὅταν τὰ μὲν ἀποτελέσματα ᾖ φανερά, ἡ δὲ αἰτία ἀπόκρυφος, ὡς οἱ τὴν ἔκλειψιν τοῦ ἡλίου θαυμάζοντες τῷ ὁρᾶν μὲν αὐτήν, τὴν δὲ αἰτίαν οὐκ εἰδέναι, καίτοι ἄλλων εἰδότων, οἳ διὰ τοῦτο οὐ θαυμάζουσιν, οἷά τισίν εἰσι θαύματος ἄξια, ἄλλοις μὴ ὄντα. Ἀλλὰ κυρίως θαυμάζεσθαι ἄξια, καὶ διὰ τοῦτο θαύματα λέγονται, ὅσων ἡ αἰτία πᾶσιν ἀπόκρυφος.

Ἡ δὲ δημιουργία καὶ ἡ τοῦ ἀσεβοῦς δικαίωσις οὐ θαύματα κυρίως·

---

4 Is. 26, 12

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐ γὰρ ἀνήκουσι τῇ παρὰ τῆς φύσεως τάξει, ἵνα παρὰ ταύτην γινόμενα, θαύματα ᾖ.

8. Ὅτι ἓν θαῦμα μεῖζόν ἐστιν ἑτέρου· ὁ Κύριος γάρ φησιν· „Τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει“.

Ἰστέον δέ, ὅτι οὐδέν ἐστι κυρίως θαῦμα τῇ πρὸς τὴν θείαν δύναμιν παραθέσει, ἀλλὰ θαῦμα λέγεται τῇ πρὸς τὴν φυσικὴν δύναμιν παραθέσει, ἣν ὑπερβαίνει. Ὅσῳ οὖν μᾶλλον ὑπερβαίνει, καὶ μεῖζον λέγεται θαῦμα. Τριχῶς δὲ ὑπερβαίνει· ἢ κατὰ τὴν οὐσίαν τοῦ γενομένου, οἷόν ἐστι τὸ δύο σώματα εἶναι ὁμοῦ, ἢ τὸ τὸν ἥλιον ἀναποδίσαι, ἢ τὸ τὸ ἀνθρώπινον σῶμα δοξάζεσθαι, ἅπερ ἡ φύσις οὐδένα τρόπον ποιεῖν δύναται· καὶ ταῦτα τὴν ἄκραν ἐν τοῖς θαύμασιν ἔχει χώραν· ἢ ὑπερβαίνει τὴν τῆς φύσεως δύναμιν κατὰ τὸ ἐν ᾧ γίνεται, ὥσπερ ἡ τῶν νεκρῶν ἀνάστασις καὶ ὁ τῶν f. 274v τυφλῶν φωτισμός· ποιεῖ γὰρ ἡ φύσις ζωήν, ἀλλ' οὐκ ἐν τῷ νεκρῷ, | καὶ χορηγεῖ ὄψιν, ἀλλ' οὐ τυφλῷ· καὶ ταῦτα, δευτέρας τάξεως· ἢ ὑπερβαίνει τὴν φυσικὴν δύναμιν ὅσον πρὸς τὴν τάξιν καὶ τὸν τρόπον ᾧ γίνεται, ὥσπερ ὅταν τις ἀθρόον τῇ θείᾳ δυνάμει πυρετοῦ ἀπαλλάττηται ἄνευ ἰατρείας καὶ τῆς εἰωθυίας ἐν τοῖς τοιούτοις προόδου τῆς φύσεως, καὶ ὅταν ἀθρόον θείᾳ δυνάμει πυκνοῦται ἡ θάλασσα πρὸς ὑετὸν ἄνευ τῶν φυσικῶν αἰτίων, ὡς γέγονε ταῖς ἱκεσίαις τοῦ Σαμουὴλ καὶ τοῦ Ἡλιοῦ· ταῦτα δὲ ἐν τοῖς θαύμασι τὸν ἔσχατον ἔχει τόπον. Ἕκαστον δὲ τούτων τῶν τριῶν γενῶν διαφόρους ἔχει βαθμούς, καθόσον καὶ διαφόρως τὴν τάξιν τῆς φύσεως ὑπερβαίνουσιν.

## CVI. — Περὶ τοῦ φωτισμοῦ τῶν ἀγγέλων.

1. Ὅτι εἷς ἄγγελος φωτίζει ἕτερον, οὕτω τοῦ Διονυσίου λέγοντος, ὅτι οἱ τῆς δευτέρας ἱεραρχίας ἄγγελοι καθαίρονται καὶ φωτίζονται καὶ τελειοῦνται διὰ τῶν ἀγγέλων τῆς πρώτης ἱεραρχίας, ὅτι τὸ ἀνῆκον τῷ νῷ φῶς ἡ δήλωσις τῆς ἀληθείας ἐστίν, ὡς ἐν τῇ πρὸς Ἐφεσίους λέγεται· „Πᾶν τὸ φανερούμενον φῶς ἐστιν“, καὶ φωτίζειν ἐστὶ τὸ τὴν ἐγνωσμένην ἀλήθειαν ἄλλῳ διδόναι, ὡς ἐν τῇ αὐτῇ ἐπιστολῇ· „Ἐμοὶ τῷ ἐλαχίστῳ πάντων ἁγίων ἐδόθη χάρις καὶ αὕτη, φωτίσαι πάντας τίς ἡ οἰκονομία τοῦ μυστηρίου“, καὶ τὰ ἑξῆς. Ἐπεὶ δὲ πρὸς τὸ νοεῖν ἥ τε νοερὰ δύναμις συντρέχει καὶ ἡ ὁμοιότης τοῦ νοητοῦ, καὶ κατ' ἄμφω εἷς ἄγγελος ἄλλῳ γνωρίζει τὴν ἐγνωσμένην ἀλήθειαν, ἐνισχύων μὲν τὴν νοερὰν ἐκείνου δύναμιν ἐκ τῆς ἐπιστροφῆς· τοῦτο γὰρ ἐν αὐτοῖς ἡ τάξις τῆς ἐπιστροφῆς τοῦ ὑποβεβηκότος πρὸς τὸν μείζω ποιεῖ, ὅπερ ἐν τοῖς σώμασιν ἡ κατὰ τόπον παράθεσις τοῦ τῇ ποιότητι ἀσθενεστέρου πρὸς τὸ ἰσχυρότερον· διακρίνων δὲ τὴν ἐν ἑαυτῷ καθόλου προσειλημμένην ἀλήθειαν ἐν τῇ τοῦ νοητοῦ ὁμοι-

---

3 Ioh. 14, 12 29 Ephes. 5, 13 30 Ephes. 3, 8

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ότητι ὥσθ' ὑπὸ τοῦ ὑποβεβηκότος δυνηθῆναι ληφθῆναι, ᾧ συμπέφυκε τὸ τὴν ἀλήθειαν μερικώτερον λαμβάνειν, ὡς καὶ οἱ παρ' ἡμῖν διδάσκαλοι τὸ καθόλου νοούμενον αὐτοῖς πολλαχῶς διαιροῦσι, προνοούμενοι τοῦ δεκτικοῦ τῶν ἑτέρων· καὶ τοῦτ' ἔστι τὸ τοῦ Διονυσίου, ὅτι πᾶσα νοερὰ οὐσία τὴν αὐτῇ δεδομένην ἑνοειδῆ εἴδησίν τε καὶ νόησιν προνοητικῇ δυνάμει διαιρεῖ καὶ πληθύει πρὸς τὴν τοῦ ὑποβεβηκότος ἀναγαγεῖν ἀναλογίαν.

Ἡ δὲ τοιαύτη διδασκαλία καὶ ὁ φωτισμὸς περὶ τῶν λόγων τῶν θείων ἔργων ἐστίν, ὡς ὁ Διονύσιος λέγει, ὅτι τοῖς τῶν ὄντων φωτίζονται λόγοις οἱ ἄγγελοι. Περὶ δὲ τῆς θείας οὐσίας οὐδεὶς διδάσκει | τὸν ἕτερον, πάν- f. 275
των ἀμέσως εἰ καὶ διαφόρως ὁρώντων, ὡς ἐν τῷ προφήτῃ λέγεται· „Οὐ διδάξει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν Κύριον· πάντες γὰρ γνώσονταί με ἀπὸ μικροῦ ἕως μεγάλου". Φωτίζει δὲ ἄγγελος ἕτερον οὐ διδοὺς φῶς φύσεως ἢ χάριτος ἢ δόξης, ἀλλὰ τῷ ῥωννύειν τὸ φυσικὸν αὐτοῦ φῶς, δηλῶν τὴν ἀλήθειαν τὴν ἀνήκουσαν τῇ ἕξει τῆς φύσεως ἢ τῆς χάριτος ἢ τῆς δόξης.

2. Ὅτι εἷς ἄγγελος τὴν ἑτέρου οὐ κινεῖ βούλησιν, οὔτε ὡς ἀντικείμενον· τοιοῦτον γὰρ τὸ καθόλου ἀγαθόν, ὅπερ ἐστὶν ὁ Θεός· οὐθ' ὡς δεικνύων τὸ ἀντικείμενον· μόνος γὰρ ὁ Θεὸς αὐτὸ δείκνυσιν, ἑαυτὸν δεικνύων ὥστε κατ' οὐσίαν ὁρᾶσθαι τοῖς μακαρίοις· ἀλλὰ μόνον τῷ κλίνειν ταύτην εἴς τι ἀγαπητόν, παραδεικνύων καί τινα ἀγαθὰ κτιστὰ εἰς τὴν θείαν καὶ ἄκτιστον ἀγαθότητα τεταγμένα, καὶ οὕτω δύναται ῥέπειν ποιεῖν ἢ ἐπὶ τὸν τῆς κτίσεως ἔρωτα, ἢ τὸν τοῦ Θεοῦ κατὰ τὸν τῆς πειθοῦς τρόπον. Κατὰ δὲ δύναμιν ὑπὸ τοῦ Θεοῦ μόνου κινεῖται ἡ θέλησις· τὴν γὰρ τῆς θελήσεως ἐνέργειαν, ῥοπὴν οὖσαν αὐτῆς πρὸς τὸ θελητόν, μόνος δύναται μεταβάλλειν ὁ δυνάμενος δοῦναι καὶ δύναμιν, ᾗ ἡ φυσικὴ ἕπεται μεταβολή· μόνος δὲ ὁ Θεός ἐστιν ὁ τῇ κτίσει τὴν τοῦ θέλειν δύναμιν παρασχόμενος, ὡς τῆς νοερᾶς φύσεως αὐτὸς μόνος δημιουργὸς ὤν.

3. Ὅτι ὁ ὑποβεβηκὼς οὐ δύναται φωτίζειν τὸν ὑπερκείμενον. Ἡ γὰρ προσήκουσα τάξις ταῖς ἀσωμάτοις οὐσίαις ἐν τῷ τὰ ὑποβεβηκότα διὰ τῶν ὑπερβεβηκότων κινεῖσθαι οὐκ ἀμείβεταί ποτε, εἰ καὶ παρὰ τὴν τῆς σωματικῆς φύσεως τάξιν ποιεῖ τι ὁ Θεὸς παραδόξως πρὸς τὸ ἐπανάγειν τοὺς ἀνθρώπους εἰς τὴν αὐτοῦ γνῶσιν διὰ τὸ φανερὰς εἶναι, τὰς τῶν αἰσθητῶν σωμάτων ἐνεργείας· αἱ δὲ ἀγγελικαὶ οὐ φανεροῦνται· ὅθεν οὐκ ἂν ἦν χρειῶδες τὴν ἐν ἐκείνοις τάξιν μεταποιεῖσθαι.

4. Ὅτι ὁ ὑπερβεβηκὼς φωτίζει τὸν ὑποκείμενον περὶ πάντων ὧν αὐτὸς οἶδεν, οὕτω τοῦ Διονυσίου λέγοντος ἐναργῶς καὶ τοῦ λόγου πείθοντος. Ἐν πληρεστάτῃ γὰρ μετοχῇ τῆς θείας ἀγαθότητος ὄντες, ὅπερ ἂν παρὰ Θεοῦ λαμβάνωσιν τοῖς ὑποδεεστέροις διοχετεύουσιν, εἰ καὶ οἱ δεχόμενοι

10 Ier. 31, 34

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἐξῃρημένως δέχονται ὡς οἱ ὑπερβεβηκότες ἔχουσιν, καὶ διὰ τοῦτο μένουσιν ἀεὶ ἑκάτεροι ἐν τῇ τάξει τῇ ἐξ ἀρχῆς, καὶ τελειοτέραν οὗτοι, κἀκεῖνοι ἀτελεστέραν ἔχοντες ἐπιστήμην. Καὶ οὐ δεῖ θαυμάζειν· καὶ ἐν ἀνθρώποις γὰρ τὸ αὐτὸ πρᾶγμα ἐντελέστερον νοεῖ ὁ διδάξας ἢ ὁ παρ' ἐκείνου μαθών.

f. 275v Τὸ δὲ τῆς θείας | σαρκώσεως μυστήριον ᾔδεσαν μὲν καὶ οἱ ὑποβεβηκότες ἐκ τῶν ὑψηλοτέρων ἀπὸ τῶν αἰώνων, οὐ μέντοι γε ἐντελῶς· μετὰ δὲ ταῦτα προέκοψαν κατὰ τὴν τούτου γνῶσιν, τελεσθέντος τοῦ μυστηρίου.

Ὁ δὲ περὶ τῶν ἀνηκόντων τῇ διοικήσει τοῦ κόσμου καὶ μάλιστα πρὸς τὴν τῶν ἐκλεκτῶν σωτηρίαν φωτισμὸς ἐκ τῶν ὑψηλοτέρων ἀγγέλων μενεῖ τοῖς ὑποδεεστέροις μέχρι τῆς κρίσεως.

## CVII. — Περὶ τῆς τῶν ἀγγέλων ὁμιλίας.

1. Ὅτι ἀλλήλοις οἱ ἄγγελοι διαλέγονται, ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων“. Ὡς προείρηται γάρ, ἡ θέλησις κινεῖ τὸν νοῦν πρὸς τὴν αὐτοῦ ἐνέργειαν· τὸ δὲ νοητὸν τριχῶς ἐστιν ἐν τῷ νῷ· πρῶτον, καθ' ἕξιν καὶ μνήμην· δεύτερον, ὡς ἐνεργείᾳ θεωρητόν, ἢ νοηθέν· τρίτον, ὡς πρὸς ἕτερον ἀναγόμενον. Ἄγεται δὲ ὁ νοῦς ἀπὸ τοῦ ἔχειν πρὸς τὸ χρῆσθαι διὰ θελήσεως καὶ τὸ νόημα τῆς θελήσεως, καὶ τὸ νόημα τῆς χρήσεως πρὸς ἕτερον τάττεται, οἷον πρὸς τὸ πρᾶξαι ἢ δηλῶσαί τινι δι' αὐτῆς. Ὅταν δ' ὁ νοῦς ἑαυτὸν ἐπιστρέφῃ πρὸς τὸ θεωρεῖν ἐνεργείᾳ ὅπερ κέκτηται ἕξει, τότε ἑαυτῷ τις διαλέγεται· αὐτὸ γὰρ τὸ ἔνδον συλληφθὲν τοῦ νοῦ ἐνδιάθετος λόγος καλεῖται· καθὸ δὲ τὸ τοῦ ἀγγέλου νόημα τάττεται πρὸς τὸ δηλοῦν ἑτέρῳ, αὐτῇ τῇ τοῦ ἀγγέλου θελήσει τὸ τοῦ ἑνὸς ἀγγέλου νόημα γίνεται γνώριμον ἄλλῳ, καὶ οὕτως εἷς ἄγγελος ἑτέρῳ διαλέγεται. Οὐδὲν γάρ ἐστιν ἕτερον τὸ διαλέγεσθαι ἑτέρῳ ἢ τὸ τὸ νόημα τοῦ νοῦ ἑτέρῳ δηλοῦν· δυοῖν γὰρ ὄντων διαφραγμάτων τοῦ ἐν ἡμῖν νοήματος, τῆς τε θελήσεως ἀσφαλιζομένης αὐτὸ καὶ μὴ θέλουσι καὶ ἔξω προβάλλειν, καθὸ εἴρηται, ὅτι „τὸ τοῦ ἀνθρώπου οὐδεὶς εἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ“· καὶ τῆς σωματικῆς παχύτητος, δι' ἣν, καὶ τῆς βουλήσεως ταττούσης τὸ νόημα πρὸς τὸ γνωσθῆναι ἑτέρῳ, οὐκ αὐτίκα γινώσκεται ἐκείνῳ, ἀλλὰ διὰ σημείων αἰσθητῶν ἢ τῆς ἐν τῇ γλώττῃ ὁμιλίας φανεροῦται καιροῦ τινος τριβῇ πλείονος ἢ ἐλάττονος, τὸ διάφραγμα τὸ δεύτερον οὐκ ἔχει ὁ ἄγγελος, καὶ διὰ τοῦτο, αὐτίκα βουληθέντος τὸ ἑαυτοῦ δηλοῦν νόημα, ἄλλος γινώσκει. Γλῶσσα δὲ ἐν αὐτοῖς μεταφορικῶς ἡ πρὸς τὸ φανεροῦν οὕτω δύναμις λέγεται.

2. Ὅτι καὶ οἱ ταπεινότεροι διαλέγονται τοῖς ὑψηλοτέροις, ἀλλ' οὐ

---

15 I Cor. 13, 1 30 I Cor. 2, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006